# ΦΥΤΑ.

Θεοφράστου: Περὶ Φυτῶν Ἱστορίας.

Β'. ΙΙ 7 Διαφέρουσι δέ: τόποι τόπων, ἀὴρ ἀέρος. ἐνιαχοῦ γὰρ ἐκφέρειν ἡ χώρα δοκεῖ τὰ ὅμοια καθάπερ καὶ ἡ Φιλίππους.

Γ'. Ι 5. Ὅταν ἔφοδοι γίνηται ποταμοῦ παρεκβάντος τὸ ῥεῖθρον ἢ καὶ ὅλως ἑτέρωθι ποιησαμένου.

Καθάπερ ὁ Νέσος ἐν τῇ Ἀβδηρίτιδι πολλάκις μεταβαίνει, καὶ ἅμα τῇ μεταβάσει τοσαύτην ὕλην συγγεννᾷ τοὺς τόπους, ὥστε τῷ τρίτῳ ἔτει συνηρεφεῖν.

Γ'. XVIII 7-8 Ἡ δὲ ἕλιξ ἐν μεγίσταις διαφοραῖς· καὶ γὰρ τοῖς φύλλοις πλεῖστον διαφέρει τῇ τε μικρότητι καὶ τῷ γωνιώδει καὶ εὐρυθμότερα εἶναι· τὰ δὲ τοῦ κιττοῦ περιφερέστερα καὶ ἁπλᾶ . . .

Εἴδη δὲ ἐστι πλείω τῆς ἕλικος, ὡς μὲν τὰ προφανέστατα καὶ μέγιστα λαβεῖν τρία.

Ἡ τε χλοερὰ καὶ ποιώδης ἥπερ καὶ πλείστη, καὶ ἑτέρα ἡ λευκή, καὶ τρίτη ἡ ποικίλη, ἣν δὴ καλοῦσί τινες Θρᾳκίαν.

Ἑκάστη δὲ τούτων δοκεῖ διαφέρειν· καὶ γὰρ τῆς χλώδους ἡ μὲν λεπτοτέρα καὶ ταξιφυλλοτέρα καὶ ἔτι πυκνοφυλλοτέρα, ἡ δ' ἧττον πάντα ταῦτ' ἔχουσα.

Καὶ τῆς ποικίλης ἡ μὲν μεῖζον ἡ δ' ἔλαττον τὸ φύλλον καὶ τῇ ποικιλίᾳ διαφέρουσα. . . .

Δ'. V 1-2 Ἐν δὲ τοῖς πρὸς ἄρκτον οὐθὲν ὅτι ἄξιον λόγου λέγεται παρὰ τὰ κοινὰ τῶν δένδρων ἃ ἢ φιλόψυχρά τε τυγχάνει καὶ ἔστι καὶ παρ' ἡμῖν, οἷον πεύκη, δρῦς, ἐλάτη, πύξος, διοσβάλανος, φιλύρα καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτα· σχεδὸν γὰρ οὐθὲν ἕτερον παρὰ ταῦτά ἐστιν, ἀλλὰ τῶν ἄλλων ὑλημάτων ἔνια ἃ τοὺς ψυχροὺς μᾶλλον ζητεῖ τόπους, καθάπερ κενταύριον, ἀψίνθιον, ἔτι δὲ τὰ φαρμακώδη

ταῖς ῥίζαις καὶ τοῖς ὀποῖς, οἷον ἐλλέβορος, ἐλατήριον, σκαμμωνία, σχεδὸν πάντα τὰ ῥιζοτομούμενα.

Τὰ μὲν γὰρ ἐν τῷ ~~Πό~~ Πόντῳ καὶ τῇ Θράκῃ γίνεται, τὰ δὲ περὶ τὴν Οἴτην καὶ - - - -

Ἔχουσι δὲ κέδρον δὲ καὶ τὰ Θράκια ὄρη καὶ τὰ Φρύγια.

Βραχὺς δ' ἐστὶ τόπος ὃς ἔχει καὶ ὅλως τὴν ναυπηγήσιμον ὕλην.

Τῆς μὲν γὰρ Εὐρώπης δασεῖ τὰ περὶ τὴν Μακεδονίαν καὶ ὅσα τῆς Θράκης καὶ περὶ Ἰταλίαν.

Καὶ γὰρ ἑρπυλλός (thyme) ἐστιν ἄγριος ὃν κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσιν ἐν Σικυῶνι καὶ Ἀθήνησιν ἐκ τοῦ Ὑμηττοῦ. Ϛ'. II

Παρ' ἄλλοις δὲ ὅλως ὄρη πλήρη καὶ λόφοι, καθάπερ ἐν τῇ Θράκῃ.

Οἷον τῆς ῥαφανίδος (τὴν Κορινθίαν, Κλεωναίαν, Λειοθασίαν) ἀμωρέαν Βοιωτίαν.... Ζ'. IV 2

Τὴν δὲ Λειοθασίαν, ἣν ἔνιοι καλοῦσι Θρακίαν, ἰσχυροτάτην πρὸς τοὺς χειμῶνας.

Τὰ γὰρ ἐν τῇ Θράκῃ φυόμενα ῥίζα, καθάπερ τό τε τῆς νάρδου προσεμφερῆ τὴν ὀσμὴν ἔχοι καὶ ἕτερ' ἅττα μικρὰν τινα μὲν αἴσθησιν τῆς εὐωδίας ἔχει. (ἰδὲ πα.α 25) Θ'. VII 4

(Ἄλλαι δὲ ῥίζαι) θανατηφόροι, καθάπερ ἡ περὶ τὰ μέταλλα ἐν τοῖς ἔργοις τοῖς ἐν Θράκῃ. Καὶ ἔστι δὲ καὶ ἡδεῖα πάνυ τῇ γεύσει καὶ τὸν θάνατον ὑπνώδη τινα ποιοῦσα ἢ ἐλαφρόν. Θ'. XIII 4

Περὶ δὲ τὴν Θράκην εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας, ἰσχυροτάτην δὲ ὡς εἰπεῖν τὴν ἴσχαιμον, ἣν δὴ λέγουσιν οἱ μὲν κατατεθείσης τῆς φλεβὸς οἱ δὲ καὶ σφοδροτέρως διατμηθείσης ἴσχειν καὶ κωλύειν τὴν χύσιν. Θ'. XV 3

(ἀκολουθεῖ)

(φυτί)



Θ'.XX 5 Ἡ δ' ἕλκωσις σύμφυτον (this worm) ἐνίοις ἔθνεσιν· ἔχουσι γὰρ ὡς ἐπίπαν Αἰγύπτιοι, Ἄραβες, Ἀρμένιοι, Ματαδίδης, Σύροι Κίλικες.

Θρᾷκες δ' οὐκ ἔχουσιν οὐδὲ Φρύγες.

Τῶν δὲ Ἑλλήνων Θηβαῖοί τε οἱ περὶ τὰ γυμνάσια καὶ ὅλη Βοιωτοί. Ἀθηναῖοι δ' οὔ.